τοῦ τοῦ ♃ δὲ ἀπόντος, τοῦ τοῦ ☿ συνοικειωθείς, κεκινημένας μὲν καὶ ὀρεκτικάς, εὐλαβεῖς δὲ καὶ ὀκνηρὰς τὰ πολλά, καὶ δι' αἰσχρὸν φυλασσομένας. ὁ τοῦ ♂ δέ, μόνῳ μὲν συνὼν ἢ συσχηματισθεὶς ὁ τῆς ♀, ποιεῖ λάγνους καὶ καταφορεῖς, καὶ μᾶλλον ῥαθύμους, ἐὰν καὶ ὁ τοῦ ♃ αὐτοῖς προσγένηται, κἂν μὲν ὁ τοῦ ♂ ὑπὸ τὰς αὐγὰς ᾖ, συμφύρονται δούλοις, ἢ ταπεινοτέροις ἢ ἀλλοφύλοις, ἐὰν δ' ὁ τῆς ♀, ὑπερέχουσιν, ἢ δεσπόταις ἑαυτῶν, ἑταίρων ἢ μοιχάδων ἐπέχουσι τρόπον, κἂν μὲν τεθηλυσμένοι ὦσι τοῖς τόποις ἢ τοῖς σχήμασιν οἱ ἀστέρες, πρὸς τὸ διατίθεσθαι μόνον καταφορεῖς, ἐὰν δὲ ἠρρενωμένοι, καὶ πρὸς τὸ διατιθέναι καὶ γυναῖκας. ὁ μέντοι τοῦ ♄ τοῖς προειρημένοις σχήμασι συνοικειωθείς, ἐὰν μὲν καὶ αὐτὸς ᾖ τεθηλυσμένος, ἀσελγειῶν αἴτιος μόνον γίνεται. ἐὰν δὲ ἀνατολικὸς καὶ ἠρρενωμένος, ἐπιψόγους ἴσχουσιν, ἢ ἐπιψόγοις δράσεις ἀπεργάζεται. τοῦ μὲν τοῦ ♃ πάλιν ἀεί, πρὸς τὸ εὐσχημονέστερον τῶν παθῶν συλλαμβανομένου. τοῦ δὲ τοῦ ☿, πρὸς τὸ διαβοητότερον, καὶ εὐπταιστότερον.

## περὶ τέκνων.

Ἐπεὶ δὲ τῷ περὶ γάμων τόπῳ, καὶ ὁ περὶ τέκνων ἀκολουθεῖ, σκοπεῖν δεήσει τοὺς τῷ κατὰ κορυφὴν τόπῳ, ἢ τῷ ἐπαναφερομένῳ, τουτέστι τῷ τοῦ ἀγαθοῦ δαίμονος, προσόντας ἢ συσχηματιζομένους, εἰ δὲ μή, τοὺς τοῖς διαμέτροις αὐτῶν, καὶ ☾ μὲν καὶ ♃ καὶ ♀, πρὸς δόσιν τέκνων λαμβάνειν. ☉ δὲ καὶ ♂ καὶ ♄ πρὸς ἀτεκνίαν καὶ ὀλιγοτεκνίαν. τὸν δὲ τοῦ ☿ πρὸς ὁποτέρους ἂν αὐτῶν τύχῃ συσχηματισθείς, ἐπίκοινον, καὶ ἐπιδοτῆρα ὅταν ἀνατολικὸς ᾖ, ἀφαιρέτην δ' ὅταν δυτικός. οἱ μὲν οὖν δοτῆρες ἁπλῶς οὕτω κείμενοι κατὰ μόνας ὄντες μοναχὰ διδόασι τέκνα, ἐν δισώμοις δὲ καὶ θηλυκοῖς ζῳδίοις, ὁμοίως ἐν τοῖς πολυσπέρμοις, οἷον ♋ ♏ καὶ ♓, δύο ἢ καὶ πλείονα, καὶ ἠρρενωμένοι μὲν τοῖς τε ζῳδίοις, καὶ τοῖς πρὸς ☉ σχηματισμοῖς, ἄρρενα, τεθηλυσμένοι δὲ θήλεα, καθυπερτερηθέντες δὲ ὑπὸ τῶν κακοποιῶν, ἢ καὶ ἐν στειρώδεσι ζῳδίοις τυχόντες, οἷον ♌ ♍, διδόασι μέν, οὐκ ἐπὶ καλῷ μὲν οὐδ' ἐπὶ διαμονῇ. ☉ δὲ καὶ οἱ κακοποιοί, διακατασχόντες τοὺς εἰρημένους τόπους, ἐὰν μὲν ἐν ἀρσενικοῖς ζῳδίοις ὦσιν, ἢ στειρώδεσι ζῳδίοις, καὶ ὑπὸ τῶν ἀγαθοποιῶν μὴ μαρτυρηθέντες, διδόασι μέν, ἐπισινῆ δὲ καὶ ὀλιγοχρόνια. τῶν δὲ αἱρέσεων ἀμφοτέρων λόγον ἐχουσῶν, πρὸς τὰ τεκνοποιὰ ζῴδια, δοθέντων τέκνων ἀποβολαὶ γενήσονται